4 ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι. τὸν δὲ ὑπολαβόντα
φάναι· Ὦ βασιλεῦ, προθύμως μοι φαίνεαι εὔξασθαι νησιώτας
ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ, οἰκότα ἐλπίζων· νησιώτας
δὲ τί δοκέεις εὔχεσθαι ἄλλο ἤ, ἐπείτε τάχιστα ἐπύθοντό
σε μέλλοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν ἀρώ-
μενοι Λυδοὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκη-
μένων Ἑλλήνων τείσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις;
5 κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ καί οἱ, προσφυέως
γὰρ δόξαι λέγειν, πειθόμενον παύσασθαι τῆς ναυπηγίης.
καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι Ἴωσι ξεινίην συνε-
28 θήκατο. χρόνου δὲ ἐπιγενομένου καὶ κατεστραμμένων
σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένων· πλὴν
γὰρ Κιλίκων καὶ Λυκίων τοὺς ἄλλους πάντας ὑπ' ἑωυτῷ εἶχε
καταστρεψάμενος ὁ Κροῖσος· εἰσὶ δὲ οἵδε, Λυδοί, Φρύγες,
Μυσοί, Μαριανδυνοί, Χάλυβες, Παφλαγόνες, Θρήικες οἱ Θυνοί
τε καὶ Βιθυνοί, Κᾶρες, Ἴωνες, Δωριέες, Αἰολέες, Πάμφυλοι·
29 κατεστραμμένων δὲ τούτων καὶ προσεπικτωμένου Κροίσου
Λυδοῖσι, ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι
τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί, οἳ τοῦτον τὸν
χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτῶν ἀπικνέοιτο, καὶ
δὴ καὶ Σόλων ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθηναίοισι νόμους κελεύ-
σασι ποιήσας ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν
ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν
2 ἔθετο. αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι·
ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο δέκα ἔτεα χρήσεσθαι
30 νόμοισι τοὺς ἄν σφι Σόλων θῆται. αὐτῶν δὴ ὦν τούτων καὶ
τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν ἐς Αἴγυπτον ἀπί-

2 προθύμω+ς D φαίνεται $D^1$ R : φαίνῃ (η in lit.) V 3 βαλεῖν D : βλαβεῖν R εοικότα A : εἰκότα S V (ex corr. ?) $PS^m$ : αἰωρεομένους Toup 5 ἀρᾶσθαι 7 Ἑλλήνων in marg. $D^2$ τίσονται $D^1$ R : τίσωνται $D^3$ rell. 8 πρὸς φύσεως D 10 Ἴωσι del. Stein 11 ἐπιγεν. C R : ἐπιγιν. A D P : ἐπιγιγν. S b : ἐπιγν. V 13 ὑπὸ d b 14 εἰσὶ . . . Πάμφυλοι del. Stein 15 Μαριανδυνοί A D $C^c$ P : Μαρυανδυνοί R S $V^c$ : Μαρυανδανοί V : Μαριανδηνοί C b Θρῆκες fere d 16 Βυθινοί $D^1$ 17 καὶ . . Λυδοῖσι del. Stein 19 τε om. S V 23 μὴ δή d b 24 οὐ δῖοι R 25 χρήσασθαι R 26 σφίσι S



κετο παρὰ Ἄμασιν καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον.
ἀπικόμενος δὲ ἐξεινίζετο ἐν τοῖσι βασιληίοισι ὑπὸ τοῦ Κροί-
σου· μετὰ δέ, ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου
τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς καὶ
ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. θεησά- 2
μενον δέ μιν τὰ πάντα καὶ σκεψάμενον, ὥς οἱ κατὰ καιρὸν ἦν,
εἴρετο ὁ Κροῖσος τάδε· Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ
σέο λόγος ἀπῖκται πολλὸς καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ
πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελή-
λυθας· νῦν ὦν ἵμερος ἐπείρεσθαί μοι ἐπῆλθέ σε εἴ τινα ἤδη πάν-
των εἶδες ὀλβιώτατον. ὁ μὲν ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώ- 3
τατος ταῦτα ἐπειρώτα, Σόλων δὲ οὐδὲν ὑποθωπεύσας, ἀλλὰ
τῷ ἐόντι χρησάμενος λέγει· Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον.
ἀποθωμάσας δὲ Κροῖσος τὸ λεχθὲν εἴρετο ἐπιστρεφέως· Κοίῃ 4
δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον; ὁ δὲ εἶπε· Τέλλῳ τοῦτο
μὲν τῆς πόλιος εὖ ἡκούσης παῖδες ἦσαν καλοί τε κἀγαθοί, καί
σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα καὶ πάντα παραμείναντα,
τοῦτο δὲ τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ
βίου λαμπροτάτη ἐπεγένετο· γενομένης γὰρ Ἀθηναίοισι 5
μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι βοηθήσας καὶ
τροπὴν ποιήσας τῶν πολεμίων ἀπέθανε κάλλιστα, καί μιν
Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇ περ ἔπεσε καὶ
ἐτίμησαν μεγάλως. ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέ- 31
ψατο ὁ Σόλων τὸν Κροῖσον εἴπας πολλά τε καὶ ὄλβια,
ἐπειρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι, δοκέων πάγχυ
δευτερεῖα γῶν οἴσεσθαι. ὁ δὲ εἶπε· Κλέοβίν τε καὶ Βίτωνα.
τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρκέων ὑπῆν 2

1 Ἄμασι R $V^1$ 2 ἐξενίζετο D τοῦ om. d 3 τετράτη R suprascr. 5 ἐόντα . . . πάντα (6) in marg. $D^2$ 6 τὰ expunctum V 7 ἤρετο D (it. 14) περὶ om. d 8 σέο] σε R S V (supra v.) εἵνεκεν (-κε D) del. Stein 9 γῆν πολλὴν C P : τὴν πολλὴν A : τὴν πόλιν D : τῆς πολλῆς R S V b 10 ἐπείρεσθαί με ἵμερος A C P σε om. d b 12 ἐπηρώτα C D P $V^c$ 14 ἀποθωμ. A b d $P^c$ Κροῖσος δὲ ἀποθωμ. C P ἐπιστροφέως C 15 τοῦτο] τότε R suprascr. : τῶ S : τὼ V 17 ἴδε d 18 εἰς τοῦτο D V : ἐς τοῦτο S b 22 τε om. S V 23 τὰ] τοῖς Reiske 24 εἰπὼν S V 25 ἐπηρώτα C P $V^1$ (?) εἴδοι $D^1$ R V παχύαν $S^1$ : παγίαν V